# A Personal Greek Reader

October 5, 2015

# Contents


**1 Eusebius' Commentary on Isaiah 1**

1.1 Isaiah 7:4 . . . . . . . . . . 1
1.2 Eusebius 1.43 . . . . . . . . . . 1
1.3 Isaiah 7:5-9 . . . . . . . . . . 2
1.4 Eusebius 1.43 (cont.) . . . . . . . . . . 3
1.5 Isaiah 7:10-13 . . . . . . . . . . 5
1.6 Eusebius 1.44 . . . . . . . . . . 5
1.7 Isaiah 7:14 . . . . . . . . . . 7
1.8 Eusebius 1.44 (cont.) . . . . . . . . . . 8
1.9 Isaiah 7:15-17 . . . . . . . . . . 11
1.10 Eusebius 1.44 (cont.) . . . . . . . . . . 11
1.11 Eusebius 1.48 . . . . . . . . . . 13
1.12 Eusebius 1.49 . . . . . . . . . . 14

**2 Psalms (LXX) 17**

2.1 Psalm 33 . . . . . . . . . . 17

**3 Plato's Euthyphro 21**

# 1 Eusebius’ Commentary on Isaiah

## 1.1 Isaiah 7:4

**4** καὶ ἐρεῖς αὐτῷ Φύλαξαι τοῦ ἡσυχάσαι[1] καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων[2] τῶν δαλῶν[3] τῶν καπνιζομένων[4] τούτων, ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ[5] μου γένηται, πάλιν ἰάσομαι.[6]

## 1.2 Eusebius 1.43

Ἔδει γὰρ καὶ τὸν υἱὸν τοῦ προφήτου μὴ συνδιαφθαρέντα[7] τῷ πλήθει ἐναπομείναντα[8] δὲ τῇ πατρικῇ[9] διδασκαλίᾳ μαθητεύεσθαι ἐξ ἐκείνου τῷ πατρί, διὰ τοῦ παρεῖναι αὐτῷ θαρσαλέως[10] προσιόντι[11] καὶ πράττοντι τὰ κεκελευσμένα,[12] φάναι[13] δὲ τῷ Ἄχαζ συναντήσαντα,[14] ἃ προστάττει[15] ὁ θεός· «Φύλαξαι τοῦ ἡσυχάσαι», κατὰ δὲ τὸν Ἀκύλαν· «φύλαξαι καὶ ἡσύχασαι», κατὰ δὲ τὸν Θεοδοτίωνα·

[1] ἡσυχάζω - be still, keep quiet
[2] ξύλον - stick, cut wood
[3] δαλός - torch, firebrand
[4] καπνίζω - I make smoke
[5] θυμός - spirit, mind, heart; anger, wrath
[6] ἰάομαι - heal, cure
[7] συνδιαφθείρομαι, I perish along with
[8] ἐναπομένω - I remain in
[9] πατρικός - hereditary
[10] θαρσαλέως - boldly
[11] πρόσειμι - I am added to, attached to
[12] κελεύω - I urge on, command
[13] TODO
[14] συναντάω - I meet with
[15] προστάσσω - I command

«πρόσεχε[16] καὶ ἡσύχασον.» θαρσῶν[17] φησι τῷ λόγῳ τοῦ θεοῦ ἄτρομος[18] ἔσο[19] καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων, τῶν οὐδαμῶς μὲν φῶς ἐχόντων, δαλῷ δὲ μόνον ἐσβεσμένῳ[20] καὶ καπνιζομένῳ ἐοικότων·[21] τοιοῦτοι γάρ τινές εἰσιν οἱ δύο βασιλεῖς, ὧν ἐν φόβῳ καὶ ἀγωνίᾳ καθέστηκας. εἰ γὰρ καὶ τὰ μάλιστα ἡ παιδευτική[22] μου δύναμις, ἣν ὀργὴν εἴωθεν[23] ἀποκαλεῖν[24] τὰ λόγια, μετῆλθεν[25] ὑμᾶς τὸ πρότερον εἰς ἔλεγχον[26] τῶν νομιζομένων ὑμῖν θεῶν, οἷς ἐθαρσεῖτε μὲν αὐτοί, οἳ δὲ τὸ μηθὲν[27] ὄντες ἀπηλέγχοντο,[28] ὁπηνίκα[29] ὑποχειρίους[30] ὑμᾶς εἷλον[31] οἱ πολέμιοι. ὅμως ἐπεὶ μή ἐστιν ἡ ἐμὴ ὀργὴ παράμονος[32] ὡς ἀγαθὸς θεὸς αὐτὸς καὶ τὸ πρῶτον παίσας[33] ὑμᾶς ἐπὶ τῷ συμφέροντι·[34] καὶ νῦν αὖθις πᾶν τὸ νοσῆσαν ὑμῶν ἰάσομαι, εἰ ἐπιστραφέντες τῆς προτέρας πλάνης μάθετε ἀληθῶς εὐσεβεῖν.

## 1.3 Isaiah 7:5-9

**5** καὶ ὁ υἱὸς τοῦ Αραμ καὶ ὁ υἱὸς τοῦ Ρομελιου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν
περὶ σοῦ λέγοντες **6** Ἀναβησόμεθα εἰς τὴν Ιουδαίαν καὶ συλλαλήσαντες[35] αὐτοῖς
ἀποστρέψομεν[36] αὐτοὺς πρὸς ἡμᾶς καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεηλ, **7** τάδε
λέγει κύριος σαβαωθ Οὐ μὴ ἐμμείνῃ ἡ βουλὴ αὕτη οὐδὲ ἔσται, **8** ἀλλ' ἡ κεφαλὴ Αραμ
Δαμασκός, ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει[37] ἡ βασιλεία Εφραιμ ἀπὸ

[16]προσέχω - pay attention to
[17]θαρσέω - I am bold, of good courage
[18]ἄτραμος - undaunted
[19]*pre mid imp 2nd sg* of εἰμί
[20]σβέννυμι - I extinguish, quench
[21]ἔοικα - I am like, resemble
[22]παιδευτικός - of or for teaching
[23]ἔθω - I am accustomed, wont. TODO parse
[24]ἀποκαλέω - I call back, recall
[25]μετέρχομαι - I come or go among
[26]ἔλεγχος - a proof; persuasion; reproof
[27]μηθέν = μηδείς
[28]ἀπελέγχω - I refute thoroughly
[29]ὁπηνίκα - at what point of time, at what hour, on what day
[30]ὑποχείριος - under the hand, in hand
[31]*aor 1st sg or 3rd pl* of αἱρέω
[32]παράμονος - constant, steadfast, permanent
[33]παίω - I strike, smite
[34]συμφέρω - I bring together
[35]συλλαλέω - I talk with, discuss
[36]ἀποστρέφω - I will turn away, remove
[37]ἐκλείπω - I leave out, pass over; cease, fail

λαοῦ, **9** καὶ ἡ κεφαλὴ Εφραιμ Σομορων, καὶ ἡ κεφαλὴ Σομορων υἱὸς τοῦ Ρομελιου, καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε.[38]

## 1.4 Eusebius 1.43 (cont.)

Οἱ γοῦν δύο βασιλεῖς οὗτοι, ὁ τε τῆς Συρίας καὶ ὁ τῆς Σαμαρείας, Ἀρὰμ δὲ ἡ νῦν Συρία, Σαμάρεια δὲ ἡ νῦν καλουμένη πόλις Σεβαστή, εἰ καὶ μεγάλα ἠπείλησαν[39] τὴν προλεχθεῖσαν βουλευσάμενοι βουλήν, ἀλλ᾽ οὐ κατὰ γνώμην[40] πράξουσιν· ἐγὼ γὰρ αὐτὸς ὁ κύριος σαβαώθ, ὡς ἂν κύριος ὢν τῶν δυνάμεων τῶν θειῶν καὶ τῶν κατ᾽ οὐρανὸν ἀγγελικῶν στρατιῶν,[41] οὐκ ἐπιτρέψω[42] τὴν βουλὴν αὐτῶν ἐπὶ πέρας[43] ἀχθῆναι, κρίνας σῶσαι ὑμᾶς ὡς ἂν σχοίητε[44] τῆς ἐμῆς εὐεργετικῆς[45] καὶ σωτηρίου δυνάμεως ἐναργεστάτην[46] αἴσθησιν·[47] ἀπαρκεῖ[48] γὰρ τῇ μὲν Συρίᾳ κεφαλὴν ἔχειν τὴν Δαμασκὸν καὶ ταύτης εἶναι τὸν Ῥαασσὼν βασιλέα, τῇ δὲ Σαμαρείᾳ τὸν Ἐφραίμ. οὕτω δὲ ἐκαλεῖτο τὸ πλῆθος τῶν ἐννέα ἥμισυ[49] φυλῶν τοῦ Ἰσραὴλ διὰ τὸν ἐξ Ἐφραὶμ αὐτῶν βασιλεύσαντα· ἀρκετὸν[50] οὖν καὶ τούτοις ἔχειν τὴν Σαμάρειαν καὶ ταύτης ἡγεῖσθαι[51] τὸν τοῦ Ῥομελίου υἱόν. μάνθανε δὲ καὶ τοῦτο, ὦ Ἄχαζ, ὡς ὅσον οὔπω ἡ τῆς Σαμαρείας βασιλεία καταλυθήσεται,[52] τοῦ ἐν αὐτοῖς βασιλευομένου λαοῦ αὐτοῖς βασιλεῦσιν αἰχμαλώτου[53] γενησομένου, καὶ εἰς Ἀσσυρίους ἀποικισθησομένου[54] διὰ τὰς ὑπερβαλλούσας αὐτῶν ἀθεμίτους[55] πράξεις. εἰ δὲ καὶ τὸν χρόνον γνῶναι ποθεῖς, γίνωσκε, ὡς εἴσω ἑξήκοντα καὶ πέντε ἐτῶν ἐπιστὰς[56] ὁ

---

[38]συνίημι - I understand
[39]ἀπειλέω - I threaten
[40]γνώμη - opinion, council, judgment, intention, decree
[41]στρατία - army
[42]ἐπιτρέπω - I turn to, commit; permit, yield
[43]πέρας, -ατος, τό - end, limit, boundary
[44]*2nd pl pr opt act* of ἔχω
[45]εὐεργετικός - productive of benefit, beneficent
[46]ἐναργής - visible, palpable, in bodily shape
[47]αἴσθησις - preception, understanding, discernment
[48]ἀπαρκέω - I am sufficient
[49]ἥμισυς - half
[50]ἀρκετός - sufficient
[51]TODO
[52]καταλύω - I destroy
[53]αἰκμάλωτος - captive
[54]ἀποικίζω - I send away from home
[55]ἀθέμιτος - lawless, unlawful
[56]*aor act nom ptcpl* of ἐφίστημι

τῶν Ἀσσυρίων βασιλεὺς πάντας αὐτοὺς λήψεται ἀπάξας[57] τε αἰχμαλώτους εἰς τὴν αὐτοῦ μετοικιεῖ[58] χώραν. ταῦτα τῷ προφήτῃ λέγειν ὁ θεὸς προσέταττεν αὐτῷ τε τῷ Ἄχαζ καὶ τῷ ὑπ' αὐτὸν λαῷ· παρορμῶν[59] αὐτοὺς πρὸς ἑαυτὸν ἐπιστρέφειν, πιστεύειν τε καὶ μὴ διαπιστεῖν[60] τοῖς εἰρημένοις. διὸ τοῖς πᾶσιν ἐπιφέρει λέγων· «καὶ ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε.» ὁ μὲν οὖν τοῦ θεοῦ λόγος οὐκ εἰς μακρὸν τέλους ἐτύγχανεν· συμπληρουμένου[61] γὰρ τοῦ προλεχθέντος χρόνου, καὶ ἡ Δαμασκὸς καὶ ἡ Σαμάρεια, οἵ τε τούτων ἡγεμόνες ἥλωσαν[62] ὑπὸ τοῦ τῶν Ἀσσυρίων βασιλέως. ταῦτα μὲν οὖν ὧδέ πη[63] τὴν προφητείαν ἐπιστοῦτο[64] διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως,[65] τά γε μὴν ἑξήκοντα καὶ πέντε ἔτη φασὶν Ἑβραίων παῖδες ἐπ' ἀκριβὲς[66] συμπληροῦσθαι, εἴ τις ἀριθμεῖν ἄρξαιτο τοὺς χρόνους ἀπὸ τοῦ πέμπτου καὶ εἰκοστοῦ ἔτους τῆς τοῦ Ὀζίου βασιλείας. προφητεύει μὲν γὰρ κατὰ ταὐτὸν[67] ὁμοῦ τῷ Ἡσαΐᾳ καὶ Ἀμὼς ὁ προφήτης· θεσπίζει[68] δὲ πρῶτος ὁ Ἀμὼς τὴν μέλλουσαν συμβήσεσθαι[69] αἰχμαλωσίαν τοῦ Ἰσραὴλ λέγων· «ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ».[70] καὶ κατὰ τῆς Σαμαρείας δὲ ὁ αὐτὸς προφητεύει ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα «πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ». φασὶν δὲ τὸν σεισμὸν τοῦτον εἶναι τὸν γενόμενον ἐπὶ Ὀζίου, ὅτε εἰσελθὼν εἰς τὸ ἁγίασμα[71] ἐπὶ τῷ θῦσαι «ἐλεπρώθη»,[72] καὶ ἐξεχύθη[73] ἡ πιότης[74] τοῦ θυσιαστηρίου σεισμοῦ γενομένου. «πρὸ δύο» τοίνυν «ἐτῶν τοῦ σεισμοῦ» προφητεύσαντος τοῦ Ἀμὼς κατὰ τῆς Σαμαρείας καὶ κατὰ τῆς Ἰερουσαλὴμ προσήκει[75] φασὶν ἐξ ἐκείνου δεῖν ἄρχεσθαι τὰ ἑξήκοντα καὶ πέντε ἔτη συνάγειν. γίνεται δὲ τὰ λοιπὰ τοῦ Ὀζίου ἔτη εἴκοσι ἑπτά, ἐπειδὴ τὰ πάντα «δύο καὶ πεντήκοντα ἔτη βασιλεῦσαι» μνημονεύεται τῶν δὲ κατὰ τὸ πέμπτον καὶ εἰκοστόν.

[57] ἀπάγω - I lead away
[58] μετοικίζω - I remove to a new abode, cause to migrate
[59] παρορμάω - I urge on, stimulate
[60] διαπιστέω - I distrust utterly
[61] συμπληρόω - I fill completely; pass: I am completed
[62] ἁλίσκομαι - I am taken, conquered
[63] πη - in some way, somehow
[64] πιστόω - I convince
[65] ἔκβασις - result, issue; a way out, escape
[66] ἀκριβής - exact, precise
[67] ταὐτός - identical
[68] θεσπίζω - I prophesy, divine
[69] συμβαίνω - pass: come to pass, happen
[70] Either Amos 7:11 or 7:17.
[71] ἁγίασμα - holiness
[72] λεπρόομαι - become leprous
[73] *3rd sg aor ind pass* of ἐκχέω
[74] πιότης - fatness; richness
[75] προσήκω - I have arrived at

πρῶτος Ἀμὼς τὰ περὶ τῆς τοῦ Ἰσραὴλ αἰχμαλωσίας ἐθέσπισεν, ἔπειτα «Ἰωαθὰμ ἔτη δέκα ἓξ» καὶ «Ἄχαζ» ὁμοίως «ἔτη δέκα ἕξ». εἰ τὰ τῆς Ἑζεκίου βασιλείας ἔτη ἓξ ὁμοῦ τὰ πάντα συνάγεται εἰς ἔτη ἑξήκοντα καὶ πέντε· ἕκτῳ γοῦν ἔτει Ἑζεκίου ὁ Ἰσραὴλ τὴν ὑστάτην[76] ὑπέμεινεν αἰχμαλωσίαν. ταῖς προφητείαις ἀκολούθως[77] σημεῖον δὲ αὐτῷ δώσειν ἐπαγγέλλεται, δι᾽ οὗ σωθήσεσθαι ἔμελλεν· ὁ δὲ σκληροκάρδιος ὢν καὶ τῇ δαιμονικῇ πλάνῃ βεβαπτισμένος ἀναίνεται[78] καὶ παραιτεῖται[79] τὸ τοῦ θεοῦ σημεῖον, κἂν τούτῳ τὸ ἄπιστον καὶ ἀνυπότακτον[80] ἑαυτοῦ δεικνύς.[81] ἰστέον[82] ὡς μέχρι τούτων Ὠριγένει προῆλθεν ὁ ὄγδοος τῶν εἰς τὸν προφήτην ἐξηγητικῶν[83] τόμος.[84]

## 1.5 Isaiah 7:10-13

**10** Καὶ προσέθετο κύριος λαλῆσαι τῷ Αχαζ λέγων **11** Αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. **12** καὶ εἶπεν Αχαζ Οὐ μὴ αἰτήσω οὐδ᾽ οὐ μὴ πειράσω κύριον. **13** καὶ εἶπεν Ἀκούσατε δή, οἶκος Δαυιδ, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα;

## 1.6 Eusebius 1.44

Ἀντὶ τοῦ· «εἰς βάθος ἢ εἰς ὕψος,» ὁ μὲν Σύμμαχος «αἴτησαί φησι σεαυτῷ σημεῖον παρὰ κυρίου θεοῦ σου, βάθυνον[85] εἰς ᾅδην ἢ εἰς ὕψος ἄνω,» ὁ δὲ Ἀκύλας· «ἐπερώτησον σεαυτῷ σημεῖον παρὰ κυρίου θεοῦ σου, βάθυνον εἰς ᾅδην ἢ μετεώρισον[86] εἰς ἄνω,» ὁ δὲ Θεοδοτίων· «αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου θεοῦ σου, βάθυνον εἰς ᾅδην ἢ ὕψωσον ἄνω.» νοήσομεν δέ γε τὸ εἰς βάθος ἢ εἰς ὕψος σημεῖον ἐκ τῆς παρὰ Μωϋσεῖ γραφῆς· τῶν γὰρ ἐν Αἰγύπτῳ διὰ Μωϋσέως γενομένων σημείων, περὶ ὧν εἴρηται· «ἐξαπέστειλεν σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε»,

[76] ὕστατος = ὕστερος
[77] ἀκόλουθος - following
[78] ἀναίνομαι - I reject with contempt, spurn
[79] παραιτέομαι - I make excuse, refuse, reject, decline, shun, avoid
[80] ἀνυπότακτος - not subject to rule, unruly
[81] *pr act ptc nom or acc* of δείκνυμι
[82] ἰστέον - one must see
[83] ἐξηγητικός - of or for interpretation
[84] τόμος - scroll, volume
[85] βαθύνω - I deepen, excavate
[86] μετεωρίζω - I raise up on high

τὰ μὲν ἀπὸ γῆς ἐτύγχανεν ὡς «οἱ βάτραχοι[87] καὶ αἱ ἀκρίδες καὶ οἱ σκνῖφες[88] καὶ ἡ κυνόμυια»,[89] τὰ δὲ ἐξ οὐρανοῦ ὡς «ἡ χάλαζα[90] καὶ τὸ πῦρ τό τε τριήμερον σκότος». εἴποι δ' ἄν τις καὶ τὸ ἐπὶ Ἑζεκίου γενόμενον σημεῖον ἐξ οὐρανοῦ γεγονέναι, «ὅτε ἀναποδίσαντος[91] τοῦ ἡλίου ἔδραμεν εἰς τὰ ὀπίσω ἡ σκιὰ τοὺς δέκα ἀναβαθμούς».[92] ἐκ βάθους δὲ ἦν σημεῖον καὶ τὸ ἐπὶ Σαοὺλ γενόμενον, ὅτε Σαμουὴλ μετὰ θάνατον αὐτοῦ προμηνύει.[93] ὁμοίως ἐκ βάθους ἦν «σημεῖον Ἰωνᾶς» «ἐκ τῆς κοιλίας τοῦ κήτους» προϊὼν καὶ Νινευίταις ἀλλοφύλοις[94] ἀνδράσιν κηρύττων. κελεύεται τοίνυν ὁ Ἄχαζ σημεῖον αἰτῆσαι, δι' οὗ σωθήσεσθαι ἔμελλεν αὐτός τε καὶ ὁ σὺν αὐτῷ λαός. ἐξουσίαν τε αὐτῷ δίδωσιν ὁ θεὸς αἱρέσεως[95] τοῦ σημείου, εἴτ' ἐκ βάθους αἰτήσειεν αὐτῷ δοθῆναι τοῦτο, ἐκ βάθους οὐχ ἑτέρου ἢ τοῦ κατὰ τὸν ᾅδην· εἴτ' ἐξ ὕψους, καὶ αὐτῶν τῶν ἄνω μετεώρων.[96] ὁ δὲ ἀκούσας ἀναίνεται,[97] ἅτε[98] δὴ ἀσεβὴς ὢν καὶ μὴ πειθαρχῶν[99] τῷ θεῷ κελεύοντι μηδὲ θέλων ἀπόπειραν[100] λαβεῖν τῆς τοῦ θεοῦ παραδοξοποιοῦ[101] δυνάμεως. διό φησιν· «Οὐ μὴ αἰτήσω οὐδ' οὐ μὴ πειράσω κύριον.» εἶθ'[102] ὁ προφήτης ἐπὶ τῇ τοῦ ἀνδρὸς ἀπονοίᾳ[103] σχετλιάσας[104] ἐξ οἰκείου προσώπου τὰ ἑξῆς[105] ἐπιλέγει φάσκων·[106] «Ἀκούσατε δή, οἶκος Δαυίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα;» ἐκάλει δὲ καὶ ἐν τοῖς ἀνωτέρῳ[107] οἶκον Δαυὶδ τοὺς ἐκ τῆς διαδοχῆς[108] Δαυὶδ κατάγοντας τὸ γένος, ἐν οἷς ἔλεγεν· «καὶ ἀνηγγέλη[109] εἰς τὸν οἶκον Δαυίδ, ὅτι συνεφώνησεν[110] Ἀρὰμ πρὸς τὸν

[87] βάτραχος - frog
[88] σκνίψ, σκνιπός/σκιφός - small fly, gnat
[89] κυνόμυια - dog fly
[90] χάλαζα - hail
[91] ἀναποδίζω - I step back
[92] ἀναβαθμός - a step, flight of stairs
[93] προμηνύω - I denounce beforehand
[94] ἀλλόφυλος - foreign, of another race
[95] αἵρεσις - choice; a self-chosen opinion; discord, contention; free-will offering
[96] μετέωρος - raised from the ground, hanging
[97] ἀναίνομαι - I reject with contempt, spurn
[98] ἅτε - just as, so as
[99] πειθαρχέω - I obey, follow
[100] ἀπόπειρα - proof, evidence
[101] παραδοξοποιός - wonder-worker
[102] εἶθα - would that?
[103] ἀπόνοια - loss of all sense
[104] σχετλιάζω - I complain
[105] ἑξῆς - next
[106] φάσκω - I affirm, assert
[107] ἀνώτερος - higher; of rest, above, before
[108] διαδοκή - succession
[109] Strange form. From ἀναγγέλω?
[110] συμφωνέω - I agree with, harmonize

Ἐφραίμ», πρὸς τὸν αὐτὸν τοίνυν οἶκον Δαυὶδ τὰ προκείμενα φάσκει μηκέτι τοῦ λόγου καταξιῶν[111] τὸν Ἄχαζ. τίνα δέ ἐστιν ἃ πρὸς τὸν οἶκον Δαυὶδ ἀποκρίνεται; μὴ μικρόν φησίν ἐστιν τὸ παρέχειν ἀνθρώποις ἀγῶνα; καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; ἀνθ᾽ ὧν ὁ Ἀκύλας τοῦτον ἡρμήνευσεν τὸν τρόπον· ἀκούσατε δή, οἶκος Δαυίδ· μήτι ὀλίγον μοχθοῦν[112] ἄνδρας, ὅτι μοχθοῦτε καί γε τὸν θεόν μου; ὁ δὲ Σύμμαχος· «ἀκούσατε δή, οἶκος Δαυίδ· μὴ οὐκ αὔταρκες[113] ὑμῖν κοποῦν[114] ἀνθρώπους, ὅτι κοποῦτε ἔτι καὶ τὸν θεόν μου;» ὁ δὲ Θεοδοτίων· καὶ εἶπεν· «ἀκούσατε δή, οἶκος Δαυίδ· μὴ μικρὸν ἐξ ὑμῶν ἀγῶνα παρέχειν ἀνθρώποις, ὅτι ἀγῶνα παρέχετε καί γε τῷ θεῷ μου;» ἔστι δὲ ὁ νοῦς τῶν προκειμένων τοιοῦτος· οὐ παύσεσθέ ποτε τοῖς τοῦ θεοῦ ἀνθρώποις, λέγω δὲ τοῖς τοῦ θεοῦ προφήταις, κόπους[115] καὶ μόχθους[116] καὶ ἀγῶνας τοὺς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας παρέχοντες, ἀλλὰ δὴ καὶ αὐτὸν τὸν ἐμὸν θεόν, ὃν ὑμεῖς ἀγνοεῖτε, κοποῦτε σκυλμοὺς[117] καὶ ἀγῶνας παρέχοντες τῷ μὴ βούλεσθαι πιστεύειν αὐτοῦ ταῖς ἐπαγγελίαις. ὁ μὲν γὰρ οἷα θεὸς δι᾽ ὑπερβολὴν[118] φιλανθρωπίας[119] σωτήριον σημεῖον αἰτεῖν παρ᾽ αὐτοῦ προστάττει, δι᾽ οὗ μέλλετε σωθήσεσθαι καὶ τῆς τῶν δύο βασιλέων τῶν ἐπιστρατευσάντων[120] ὑμῖν ἀγωνίας ἀπαλλάττεσθαι.[121] ὑμεῖς δὲ ἐπιμένοντες τῇ ἑαυτῶν μοχθηρίᾳ[122] ἀγῶνα παρέχετε αὐτῷ καὶ κόπους ὁμοίως τοῖς αὐτοῦ προφήταις καὶ αὐτῷ χρώμενοι οἷς ἀπιστοῦντες ἐπιβουλὰς ἐμηχανήσασθε[123] κατ᾽ αὐτῶν πολλάκις.

## 1.7 Isaiah 7:14

**14** διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Εμμανουηλ,

[111] καταξιόω - I deem unworthy
[112] μοχθέω - I am weary, distressed
[113] αὐτάρκης - self-sufficient, contented
[114] κοπόω - I am weary
[115] κόπος - trouble, toil, labor
[116] μόχθος - wearisome labor, toil, hardship
[117] σκυλμός - rending, mangling
[118] ὑπερβολή - excess, surpassing excellent; exceedingly
[119] φιλανθρωπία - love of mankind, benevolence
[120] ἐπιστρατεύω - I make war upon
[121] ἀπαλλάσσω - I remove, release
[122] μοχθηρία - bad condition
[123] μηχανάομαι - I prepare, make ready

## 1.8 Eusebius 1.44 (cont.)

Πλὴν εἰ καὶ ὑμεῖς τοιοῦτοι, ἀλλ' αὐτὸς πάλιν οἷα θεὸς μιμούμενος[124] ἑαυτὸν οὐ παρίησιν[125] ὑμᾶς ἀπολλυμένους, τὸ δὲ σωτήριον σημεῖον καὶ μὴ βουλομένοις ὑμῖν παρέξει. τί δὲ τοῦτό ἐστιν; παράδοξόν τι θαῦμα ἔσται ποτὲ ἐν ἀνθρώποις καὶ σημεῖον μηδέποτε ἀκουσθὲν ἐκ τοῦ παντὸς αἰῶνος· παρθένος γὰρ κυήσει[126] δίχα[127] τῆς πρὸς ἄνδρα κοινωνίας καὶ θεὸν γεννήσει, σωτῆρα τοῦ τῶν ἀνθρώπων γένους. τοῦτον οὖν αὐτὸν τὸν μέλλοντα τοιαύτης λαγχάνειν[128] γενέσεως θεὸν σημεῖον ὑμῖν σωτήριον ἐντεῦθεν ἤδη ὁ θεὸς παρέχει. ὃ δὴ καὶ εἰς βάθος ἐκταθήσεται[129] καὶ εἰς ὕψος· εἰς βάθος μὲν δι' ἣν ποιήσεται μέχρις ᾅδου κατάβασιν, εἰς ὕψος δὲ διὰ τὴν εἰς οὐρανοὺς ἐπάνοδον.[130] σὺ τοιγαροῦν,[131] ὁ οἶκος Δαυίδ, ἐντεῦθεν ἤδη κατὰ τὸν καιρὸν τῆς πρὸς τοὺς παρόντας πολεμίους συμβολῆς[132] ἀνακαλοῦ[133] τοῦτον Ἐμμανουὴλ ἐπονομάζων,[134] ὅπερ[135] ἐκ τῆς ἑρμηνείας τὴν τοῦ λόγου παρίστησι δύναμιν· μεθ' ἡμῶν γὰρ ὁ θεὸς δηλοῖ τοὔνομα. πιστεύων δῆτα[136] τῷ σημείῳ θάρσει καὶ μηκέτι μὲν θεοὺς ἀνακαλοῦ Δαμασκοῦ μηδὲ τοὺς μὴ ὄντας βοηθοὺς[137] ἐπιγράφου σαυτῷ, τὸν δὲ Ἐμμανουήλ, ὡς ἂν θεὸν ἀνθρώποις συνεσόμενόν[138] ποτε, κάλει, θαρσῶν σὺν πεποιθήσει[139] τελείᾳ, πιστεύων τῇ τῆς προσηγορίας[140] δυνάμει. ἔνθα δὴ γενομένους ἐπιστῆσαι προσήκει[141] ὡς ἀκριβῶς ἡ προφητεία τῷ οἴκῳ Δαυὶδ προστάττει τὸν ἐκ τῆς παρθένου γενησόμενον Ἐμμανουὴλ καλεῖν λέγουσα· «καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ·» σὺ γὰρ αὐτός, ὁ οἶκος Δαυίδ, ὁ νῦν τῷ προφήτῃ παρὼν καὶ τούτων ἀκροώμενος[142] τῶν λόγων τὸν θεσπιζόμενον[143]

---

[124]μιμέομαι - I imitate
[125]παρίημι - I pass by, let alone, disregard; relax, loosen
[126]κυέω - I conceive
[127]δίχα - in two, asunder
[128]λαγχάνειν - I obtain by lot
[129]*fut pass ind 3rd sg* of ἐκτείνω
[130]ἐπάναδος - a rising up
[131]τοιγάρ - so then, wherefore, therefore, accordingly
[132]συμβολή - a coming together, meeting, joining
[133]ἀνακαλέω - I call up
[134]ἐπονομάζω - I call by a name, surname
[135]ὅσπερ - the very one who
[136]δῆτα - certainly, to be sure, of course
[137]βοηθός - a helper
[138]*fut mid ptc acc sg masc* of σύνειμι
[139]πεποίθησις - confidence, trust, reliance
[140]προσηγορία - a name
[141]προσήκω - I have arrived at
[142]ἀκροάομαι - I hearken to, listen to
[143]θεσπίζω - I declare by oracle, prophecy

καλέσεις Ἐμμανουήλ, ὡσεὶ σαφέστερον[144] ἔλεγεν· ἐπικαλοῦ βοηθὸν σεαυτῷ συνεχῶς[145] καὶ πολλάκις Ἐμμανουὴλ ὀνομάζων καὶ ὡς συνόντα σοι θεὸν τοῦτον ἀνακαλούμενος. εἰ γὰρ καὶ τὰ μάλιστα μακροῖς ὕστερον χρόνοις ἡ παρθένος τοῦτον κυήσει[146] καὶ τέξεται.[147] ὅτε καὶ τὸ ἀποτέλεσμα[148] γενήσεται τῆς προφητείας, ὅτε καὶ σωτὴρ ἀναφανήσεται τοῦ παντὸς ἀνθρώπων γένους, παρ᾽ ᾧ καὶ ἑτέρῳ τότε χρήσεται ὀνόματι σωτηρίας ἐπωνύμῳ.[149] ἀλλ᾽ ἐντεῦθεν ἤδη, σύ, ὁ οἶκος Δαυίδ, ἀγαθὸν σύνθημα[150] παρὰ κυρίου λαβὼν ἀνακαλοῦ αὐτὸν Ἐμμανουὴλ ὀνομάζων· σωτηρίαν γάρ σοι πιστεύοντι καὶ πειθαρχοῦντι[151] τοῖς λεγομένοις ἡ τοιαύτη προξενήσει[152] ἐπίκλησις.[153] εἰ μὲν οὖν εἴρητο·[154] καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ἔδοξεν ἂν εἰς μέλλοντα χρόνον τὴν πᾶσαν παραπέμπειν προφητείαν· οὕτως τ᾽ ἂν ἀμφιλογίαν[155] εἶχεν ὁ λόγος, ἐπεὶ μὴ Ἐμμανουήλ, ἀλλὰ «Ἰησοῦς τὸ ὄνομα κέκληται» τοῦ ἐκ τῆς ἁγίας παρθένου γεννηθέντος σωτῆρος ἡμῶν κατὰ τὸν τοῦ ἀγγέλου χρηματισμὸν[156] φήσαντος πρὸς τὸν Ἰωσήφ· «μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν». εἰ οὖν «Ἰησοῦς», ἀλλ᾽ οὐχὶ Ἐμμανουὴλ τὸ ἐπώνυμον εἴληφεν[157] ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἐκ τῆς παρθένου γενόμενος κατὰ τὴν προφητείαν, πῶς ἂν ἐπηλήθευσεν[158] τὸ λόγιον φῆσαν· καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ; διόπερ[159] οὐκ εἴρηται μὲν οὕτως· οὐ γὰρ ἔμελλεν ὑπὸ πάντων ἀνθρώπων τούτῳ καλεῖσθαι τῷ προσρήματι,[160] ἀκριβῶς δὲ ὁ προφητικὸς λόγος καὶ καλέσεις περιέχει. σὺ γάρ, ὁ οἶκος Δαυίδ, δι᾽ ὃν ταῦτα θεσπίζεται,[161] σύνθημα

[144] σαφής - clear, plain, distinct, manifest (comparative form)
[145] συνεχής - holding together
[146] κυέω - I bear in the womb, am pregnant with
[147] τίκτω - I beget
[148] ἀποτέλεσμα - full completion
[149] ἐπώνυμος - given as a name
[150] σύνθημα - anything agreed upon
[151] πειθαρχέω - I obey, follow
[152] προξενέω - to be; procure, effect
[153] ἐπίκλησις - a surname, additional name
[154] *plu mp ind 3rd sg* of ἐρῶ
[155] ἀμφιλογία - dispute, debate
[156] χρηματισμός - a divine response, an oracle
[157] *perf act ind 3rd sg* of λαμβάνω
[158] ἐπαληθεύω - I prove true, verify
[159] διόπερ - wherefore, for which very reason
[160] πρόσρημα - an address, salutation
[161] θεσπίζω - I declare by oracle, prophesy

σωτηρίας λαβὼν κατὰ τὸν καιρὸν τῆς πρὸς τοὺς πολεμίους συμβολῆς[162] Ἐμμανουὴλ κάλει καὶ τῆς τῶν πολεμίων[163] ἐλευθερίας ἐπιγράφου τοῦτον αἴτιον, ἐκ παρθένου μὲν γενησόμενόν ποτε, ἤδη δὲ θεὸν ὄντα καὶ μεθ' ἡμῶν ὄντα, ἐντεῦθέν τε ἤδη τὰ μεγάλα σοι πρὸς σωτηρίαν χαριούμενον.[164] εἰ πιστεύων τῷ θείῳ προστάγματι,[165] συνεχῶς[166] αὐτὸν ἐπικαλοῖο βοηθὸν Ἐμμανουὴλ ὀνομάζων· τοιαύτης γὰρ ὥσπερ ἐπῳδῆς[167] τινος χρεία σοι πρὸς τὸ μὴ δαίμοσιν βοηθοῖς προσέχειν, μόνον δὲ τὸν Ἐμμανουὴλ ἐπικαλεῖσθαι καὶ διὰ τούτου σῴζεσθαι. οὗτος δεῖν αὐτὸς ὁ ταῦτα διὰ τοῦ προφήτου χρηματίζων,[168] καὶ ταῦτα μὴ νοήσαντές τινες ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ ἀντὶ τοῦ καλέσεις «καὶ καλέσουσιν» πεποιήκασιν,[169] οὐχ οὕτως ἐχούσης τῆς προφητικῆς λέξεως·[170] ἥ τε γὰρ Ἑβραϊκὴ φωνή, ταύτῃ τε καταλλήλως[171] ἅπαντες οἱ ἑρμηνευταὶ καὶ καλέσεις ἐκδεδώκασιν.[172] ἀντὶ δὲ τοῦ· ἡ παρθένος, κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς νεᾶνις ὠνόμασται.[173] οὐδὲν δ' ἂν κωλύῃ καὶ νεᾶνιν λέγεσθαι τὴν παρθένον· εἰκὸς[174] γὰρ μὴ ἀτελῆ[175] παῖδα τὴν ἁγίαν παρθένον τὴν τὸν σωτῆρα κυήσασαν,[176] νεᾶνιν δὲ τὴν ἡλικίαν[177] καὶ τελείαν κόρην[178] γεγονέναι. τοῦτο μὲν οὖν τὸ θαῦμα καιρῷ ... γενέσθαι θεσπίζει, πρὸς δὲ τὸν οἶκον Δαυὶδ σωτῆρος καὶ βοηθοῦ χρείαν ἔχοντα ἀναγκαίως ἐλέγετο· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. ἐπικαλοῦ τοίνυν αὐτὸν οὐ πόρρω ἑστῶτά[179] φησι, διὰ παντὸς δὲ παρόντα καὶ συνόντα τοῖς ἐπικαλουμένοις αὐτόν.

---

[162] συμβολή - a coming together, meeting
[163] πολέμιος - of or belonging to war
[164] *fut m ptcpl acc fem sg* of χαρίζω. I wonder where both the zeta and sigma went.
[165] πρόσταγμα - ordinance, command
[166] συνεχής - holding together
[167] ἐπῳδή - a song sung to or over
[168] χρηματίζω - I receive a name, am called
[169] *perf act ind 3rd sg* of ποιέω
[170] λέξις - a speaking, saying, speech
[171] κατάλληλος - set over against another, correspondent
[172] ἐκδίδωμι - I surrender, give up; devote oneself; interpret, render, translate; edit, publish
[173] *perf mp ind 3rd sg* of ὀνομάζω
[174] parseperf act ptc neut nom/acc of ἔοικα
[175] ἀτελής - without end
[176] κυέω - I bear in the womb
[177] ἡλικία - age
[178] κόρη - young woman
[179] parseperf act ptcpl acc masc sg of ἵστημι

# 1.9 Isaiah 7:15-17

**15** βούτυρον[180] καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι[181] πονηρὰ ἐκλέξεται τὸ ἀγαθόν, **16** διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ[182] πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν, καὶ καταλειφθήσεται[183] ἡ γῆ, ἣν σὺ φοβῇ ἀπὸ προσώπου τῶν δύο βασιλέων. **17** ἀλλὰ ἐπάξει[184] ὁ θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὔπω ἥκασιν[185] ἀφ' ἧς ἡμέρας ἀφεῖλεν[186] Εφραιμ ἀπὸ Ιουδα, τὸν βασιλέα τῶν Ἀσσυρίων.

# 1.10 Eusebius 1.44 (cont.)

Εἰ δὲ θαυμάζεις θεὸν γεννώμενον ἀκούων, πίστευσον ὅτι καὶ τροφῇ νηπιώδῃ[187] χρήσεται·[188] οὐ γὰρ κατά τινα φαντασίαν[189] ὀφθήσεται[190] ἀνθρώποις, οὐδὲ τῷ δοκεῖν ἔσται τὸ γινόμενον, ἀλλ' ἀληθῶς τοιαύτην ὑπομενεῖ γένεσιν, ὡς κοινωνῆσαι νηπιώδῃ τροφῇ, βουτύρῳ λέγω καὶ μέλιτι ὁμοίως τοῖς λοιποῖς βρέφεσιν. τοῦτο μὲν οὖν ἀνθρώπινον, τὸ δὲ τῆς θεότητος[191] αὐτοῦ παραστατικὸν[192] ἐκεῖνο ἂν εἴη, ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι[193] πονηρὰ ἐκλέξεται τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ πονηρίᾳ ἐκλέξασθαι τὸ ἀγαθόν. σημαίνει δὲ ὁ λόγος ὡς καὶ παρ' αὐτὴν τὴν γένεσιν διακριτικός[194] τις ἦν καὶ ἀγαθῶν ποιητικὸς[195] ὁ Ἐμμανουήλ, τὸ κριτικὸν[196] ἐξ ἐκείνου κεκτημένος[197] καὶ ἀποσειόμενος[198] μὲν τὸ κακόν, μόνον δὲ τὸ ἀγαθὸν ἀποδεχόμενος· τοιαύτης γάρ

[180] βούτυρον - butter
[181] *aor mid inf* of προαιρέω - I propose, purpose
[182] ἀπειθέω - I disobey
[183] καταλείπω - passive: to be left, remain
[184] ἐπάγω - I bring upon
[185] *perf act ind 3rd pl* of ἥκω
[186] ἀφαιρέω - I take away, smite off
[187] νηπιώδης - of or belonging to a child; childish; incomplete
[188] χράω - proclaim, declare
[189] φαντασία - imagination; show, display; unreal appearance, illusion; vision; delusion
[190] *fut ind pass 3rd sg* of ὁράω
[191] θεότης - deity
[192] παραστατικός - fit for standing by
[193] προαιρέω - middle: I propose to myself, purpose
[194] διακριτικός - piercing, penetrating
[195] ποιητικός - capable of making, creative, productive
[196] κριτικός - critical, able to discern
[197] in perf and pluperf meaning to have acquired or possess
[198] ἀποσείω - I shake off

φησιν ἔσται φύσεως καὶ ἐξ αὐτῆς γενέσεως. ἢ τὴν μέλλουσαν ἔσεσθαι τοῦ σωτῆρος ἡμῶν καθ' ὅλου κρίσιν τὸ ῥητὸν[199] εἴπωμεν διαγράφειν,[200] καθ' ἣν πάντα μὲν πονηρὸν ἄνδρα ἀποδοκιμάσει,[201] μόνον δὲ τὸν ἀγαθὸν ὡς ἄξιον τῆς αὐτοῦ χάριτος ἀποδέξεται καὶ τοῦτο πράξει ἐξ αὐτῆς ἐκείνης τῆς νηπιώδους καταστάσεως[202] καὶ ἐξ αὐτῆς γενέσεως. διὰ τοῦτο προσδοκᾶν[203] ὀφείλεις σὺ αὐτός, ὁ Ἄχαζ, ἢ σύ, ὁ οἶκος Δαυίδ, καὶ πάντες ὑμεῖς οἱ τοῦ βασιλικοῦ γένους, ὡς ἥξει καιρός, καθ' ὃν ἐπάξει ὁ θεὸς ἐφ' ὑμᾶς καὶ ἐπὶ τὸν λαὸν τὸν ὑμῖν ὑποχείριον καὶ ἐπὶ τὸν οἶκον τοῦ ὑμετέρου πατρός, δηλαδὴ[204] τοῦ Δαυίδ, ἡμέρας τινάς, ὁποίων οὐδεπώποτε[205] πεῖραν[206] εἰλήφατε. καὶ μάλιστα ἐξ οὗπερ[207] οἱ τὴν Σαμάρειαν οἰκοῦντες εἰς ἑαυτοὺς περιέσπασαν[208] τὴν Ἀσσυρίων ἔφοδον,[209] ἀφελόντες[210] μὲν αὐτὴν καὶ ἀποστήσαντες[211] τῆς καθ' ὑμῶν ὁρμῆς,[212] εἰς ἑαυτοὺς δὲ αὐτὴν ἐπισπασάμενοι·[213] ὑπερβάλλοντες[214] γὰρ δυσσεβείᾳ[215] τοὺς τὴν Ἰερουσαλὴμ οἰκοῦντας πρῶτοι τῶν πολεμίων ἐπειράθησαν[216] ἀποστήσαντες αὐτοὺς τῆς κατὰ τοῦ οἴκου Δαυὶδ ὁρμῆς, ἐν δὲ τῷ σημανθέντι[217] καιρῷ καὶ ταῖς ἐπαχθησομέναις[218] ὑμῖν ἡμέραις. τίνα ποτὲ ἔσται, ἀκολούθως διδάσκει λέγων· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ[219] καὶ τὰ ἑξῆς.[220]

---

[199] ῥητός - stated, specified
[200] διαγράφω - delineate
[201] ἀποδοκιμάω - I reject
[202] κατάστασις - a settling, appointment, institution
[203] προσδοκάω - I await, expect
[204] δηλαδή - quite clearly
[205] οὐδεπώποτε - nor yet at any time
[206] πεῖρα - a trial, experiment
[207] I think "where", as in 2 Maccabees 4:38
[208] περισπάω - I draw around, draw off; distract
[209] ἔφοδος - (noun) a way towards, approach; (adf) accessible
[210] ἀφαιρέω - I take away, smite
[211] ἀφίστημι - put away, remove
[212] ὁρμή - a rush, violent assault
[213] ἐπισπάω - I draw on
[214] ὑπερβάλλω - exceed, surpass
[215] δυσσέβεια - impiety, ungodliness
[216] πειράω - try, attempt
[217] *aor pass ptcpl dative masc* of σημαίνω
[218] *fut pass ptcpl dat fem* of ἐπάγω
[219] maybe συρίζω - I play; whistle; hiss
[220] ἑξῆς - next

## 1.11 Eusebius 1.48

Συντελέσας ὁ λόγος τὰ γενησόμενα ἐν ταῖς καταλεχθείσαις[221] ἡμέραις, περὶ ὧν ἐλέγετο· «ἀλλὰ ἐπάξει ὁ θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὔπω ἥκασιν», ἐπαναλαμβάνει[222] τὴν διάνοιαν τὴν περὶ τῆς γενέσεως τοῦ Ἐμμανουήλ, περὶ οὗ τῷ οἴκῳ Δαυὶδ παρεκελεύετο[223] ἀντὶ ἐπῳδῆς[224] τὸ τοῦ Ἐμμανουὴλ ἐπικαλεῖσθαι ὄνομα, θαρσοῦντας καὶ πιστεύοντας δι᾽ αὐτοῦ σωθήσεσθαι ἀπὸ τῶν ἐπικειμένων[225] αὐτοῖς «δύο βασιλέων», ἐπαναλαμβάνει δὲ ἀναγκαίως,[226] ἐπειδὴ γὰρ ἐδίδαξεν τὸν Ἐμμανουὴλ ξένην τινὰ καὶ ἀλλοτρίαν τῆς θνητῆς[227] φύσεως ἕξειν γένεσιν· μὴ ἐξ ἀνδρὸς γὰρ καὶ γυναικός, ἀλλ᾽ ἐξ ἀδιαφθόρου[228] «νεάνιδος» καὶ ἐξ ἀπειρογάμου[229] «παρθένου» τεχθήσεσθαι,[230] σφόδρα ἀναγκαίως ἐν τούτοις αὐτὸς ὁ κύριος, οὐκέτι τῷ Ἄχαζ οὐδὲ τῷ οἴκῳ Ἰούδα, ἀλλ' αὐτῷ μόνῳ ᾧ προφήτῃ τὸ μυστήριον ἀνακαλύπτει[231] τῆς ἀπορρήτου[232] γενέσεως τοῦ Ἐμμανουήλ, καί πως «ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν». ὃ δὴ διασαφῶν[233] αὐτὸς ὁ κύριός φησιν· καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβεν καὶ ἔτεκεν υἱόν. ἵνα δὲ ταῦτα μὴ εἰς τὰς πάντων ἀκοὰς τῶν τότε χωρήσῃ,[234] φυλαχθείῃ[235] δὲ ἐν ἀπορρήτῳ γραφῇ, παρακελεύεται τῷ προφήτῃ λαβεῖν τόμον[236] καινὸν καὶ μέγαν, ἢ τεῦχος[237] ἢ διφθέρωμα[238] ἢ κεφαλίδα[239] κατὰ τοὺς λοιπούς, γράψαι τε ἐν αὐτῷ γραφίδι[240] ἀνθρώπου, τοῦτ' ἔστιν τῇ συνήθει[241] καὶ γνωριζομένῃ ἀνθρώποις γραφῇ· εἶναι γὰρ ἄλλην θεοῦ γραφήν, οὐ γραφίδι

---

[221]καταλέγω - list in, count among; indict; recount, repeat, recite
[222]ἐπαναλαμβάνω - I take up again, resume, repeat
[223]παρακελεύομαι - I order
[224]ἐπῳδή - a song; enchantment, charm, spell
[225]ἐπίκειμαι - I am placed upon; I press hard, am insistent
[226]ἀναγκαῖος - necessary, essential, right
[227]θνητός - mortal, subject to death
[228]ἀδιάφθορος - uncorrupted
[229]ἀπειρόγαμος - unwedded
[230]*fut pass inf* of τίκτω
[231]ἀνακαλύπτω - I unveil
[232]ἀπόρρητος - secret; mysterious; ineffable; forbidden
[233]διασαφέω - I make clear, explain fully
[234]χωρέω. Advance?
[235]*aor pass opt 3rd sg* of φυλάσσω
[236]τόμος - roll, section (of papyrus); section. Lampe mentions "met., of BMV; as book of new covenant..." and I'm not sure what that means.
[237]τεῦχος, -εος, τό - a tool, implement; book
[238]διφθέρωμα = διφθέρα - prepared piece of leather; writing material
[239]κεφαλίς - roll of a book (also used in Ezek 2:9; Heb 10:7; Ps 39:8 LXX)
[240]φραφίς, -ίδος, ἡ - a stile for writing
[241]συνήθης - living together; accustomed

ἀνθρώπου γραφομένην, ἀλλὰ δυνάμει τοῦ θεοῦ λόγου τοὺς ἀξίους «ἀπογραφομένου[242] ἐν βίβλῳ ζώντων», νυνὶ δὲ γραφίδι ἀνθρώπου τῷ προφήτῃ προστάττει γράψαι ἐν αὐτῷ ὑπὲρ τοῦ ὀξέως προνομὴν[243] ποιῆσαι σκύλων.[244] αὐτὸς γοῦν[245] ἦν ὁ καὶ πάλαι «ἰσχυρὸν» τὸν διάβολον «καταδήσας καὶ τὰ σκῦλα αὐτοῦ διαρπάσας».[246]

## 1.12 Eusebius 1.49

Ἔτι καὶ ταῦτα περὶ τῆς αὐτῆς ὑποθέσεως προφητεύεται, διὸ εἴρηται· καὶ προσέθετο κύριος λαλῆσαί μοι ἔτι· πρὸς γὰρ τοῖς προλεχθεῖσιν ἔτι καὶ ταῦτα τῷ προφήτῃ, ἀλλ' οὐ τῷ παντὶ λαῷ λέγει διδάσκων, ὅτι μὴ ἔπραττεν[247] ὁ λαὸς τὸ κεκελευσμένον· ὁ προσταχθεὶς γὰρ «μὴ φοβεῖσθαι» «ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων», μηδ' ἀγωνιᾶν «τοὺς δύο βασιλεῖς» τοὺς προδηλωθέντας,[248] μόνον δ' ἐπικαλεῖσθαι τὸν Ἐμμανουὴλ πιστεύοντας τῷ τοῦ θεοῦ προστάγματι, τοῦτο πράττειν οὐκ ἐβούλετο, ἠγάπα δὲ μᾶλλον δουλεύειν τοῖς προλεχθεῖσι βασιλεῦσι, καὶ ταῦτα πολεμίοις οὖσιν ἢ πιστεύειν τῷ θεῷ καὶ τὸν Ἐμμανουὴλ ἐπικαλεῖσθαι. διὸ λέλεκται τῷ προφήτῃ· «Διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ.»[249][250] τί δὲ τοῦτο ἦν τὸ ὕδωρ τοῦ Σιλωάμ, ἀλλ' ἢ ὁ ἐπηγγελμένος αὐτοῖς Ἐμμανουήλ, «πηγὴ» τυγχάνων «ὕδατος ζῶντος ἁλλομένου εἰς ζωὴν αἰώνιον»,[251] καὶ πηγὴ ὕδατος πορευομένου ἡσυχῇ· ἔτι γὰρ τότε λανθανόντως[252] καὶ ἡσύχως συνεπορεύετο τῷ λαῷ, ἀρδεύειν[253] αὐτῷ καὶ ἐπισκοπεῖν βουλόμενος τὰς ψυχάς, καὶ μηδέπω «κηρυττόμενος εἰς πάντα τὰ ἔθνη». διὸ καὶ κέκληται προσφυῶς[254] ὕδωρ τὸ πορευόμενον ἡσυχῇ καὶ πηγὴ «τοῦ Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος».[255] ὁ δὲ ἐνταῦθα κατηγορούμενος ὑπὸ τοῦ κυρίου λαὸς

[242] ἀπογράφω - I enroll, inscribe in a register
[243] προνομή - a foraging; pluder, booty; store, provision
[244] σκῦλον - spoil taken from a foe
[245] γοῦν - at least, at any rate
[246] διαρπάζω - I plunder. Seems to be referencing Matt 12:29\Mark 3:27\Luke 11:21.
[247] πράσσω - I do
[248] προδηλόω - I make clear beforehand, show plainly
[249] ἡσυχῇ - gently, quietly; secretly
[250] Isaiah 8:6
[251] John 4:14
[252] λανθανόντως - secretly
[253] ἀρδεύω - I water
[254] προσφυής - growing from/to, attached to
[255] John 9:7

οὐ βουληθεὶς πιστεῦσαι τῷ προστάγματι καὶ τὸν Ἐμμανουὴλ καλεῖν, ὃς ἦν τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἔρημος αὐτοῦ γίνεται. Ἐπεὶ τοίνυν ἄπιστοι ὄντες, ἠγάπων μᾶλλον ὑποτάττειν ἑαυτοὺς τῷ βασιλεῖ τῆς Δαμασκοῦ καὶ τῷ βασιλεῖ τῆς Σαμαρείας πολεμίοις οὖσιν ἢ πράττειν τὰ κεκελευσμένα· τούτου χάριν ἀπειλεῖ[256] ὁ λόγος μὴ ἐκείνοις αὐτοὺς ὑποχειρίους ἔσεσθαι, ἀλλὰ τῷ τῶν Ἀσσυρίων βασιλεῖ, ὃν καὶ ὕδωρ τοῦ ποταμοῦ ἰσχυρὸν καὶ πολὺ ὀνομάζει, ὡς πρὸς ἀντιδιαστολὴν[257] τοῦ ὕδατος τοῦ Σιλωὰμ τοῦ πορευομένου ἡσυχῇ, τὸ ὕδωρ ἀντέθηκε[258] τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολύ· ἦν δὲ οὗτος ὁ βασιλεὺς τῶν Ἀσσυρίων. διό φησι καὶ τὴν ...... Ἰουδαίαν ἀναβήσεσθαι καὶ περιπατήσειν ἐπὶ πᾶν τεῖχος αὐτῶν καὶ ἀφελεῖν[259] ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον ὃς δυνήσεται κεφαλὴν ἆραι ἢ δυνατὸν συντελέσασθαί τι, ὡς μηκέτι κεφαλὴν αὐτοὺς ἔχειν τοῦ λοιποῦ, τοῦτ᾽ ἔστιν ἄρχοντας καὶ βασιλέας. τοσοῦτον δὲ πλῆθος ἥξειν τῶν πολεμίων θεσπίζει[260] ὡς πᾶν τὸ πλάτος τῆς Ἰουδαϊκῆς χώρας πληρώσειν, ὅπερ[261] δι᾽ ἔργων ἐχώρει[262] κατὰ τὴν ἱστορίαν[263] ἐπὶ τῶν Ἰερεμίου τοῦ προφήτου χρόνων, καθ᾽ οὓς ἐπιστὰς Ναβουχοδονόσορ ὁ τῶν Ἀσσυρίων βασιλεὺς τέλος ἐπῆγε τοῖς προηγορευμένοις.[264]

---

[256] ἀπειλέω - I threaten, forbid by threatening
[257] ἀντιδιαστολή - opposition, distinction
[258] unclear what this means...come forth?
[259] ἀφαιρέω - I take away, smite
[260] θεσπίζω - I declare by oracle, prophesy, divine
[261] ὅσπερ - the very one who
[262] χωρέω - spead (as in communicated)
[263] ἱστορία - inquiry
[264] προαγορεύω - I tell beforehand

# 2 Psalms (LXX)

## 2.1 Psalm 33

**1** Τῷ Δαυιδ, ὁπότε[1] ἠλλοίωσεν[2] τὸ πρόσωπον αὐτοῦ ἐναντίον Αβιμελεχ, καὶ
ἀπέλυσεν[3] αὐτόν, καὶ ἀπῆλθεν.
**2** Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ,
διὰ παντὸς ἡ αἴνεσις[4] αὐτοῦ ἐν τῷ στόματί μου.
**3** ἐν τῷ κυρίῳ ἐπαινεσθήσεται ἡ ψυχή μου,
ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.
**4** μεγαλύνατε τὸν κύριον σὺν ἐμοί,
καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.
**5** ἐξεζήτησα[5] τὸν κύριον, καὶ ἐπήκουσέν μου καὶ ἐκ πασῶν τῶν παροικιῶν[6] μου
ἐρρύσατό με.
**6** προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε,
καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.
**7** οὗτος ὁ πτωχὸς ἐκέκραξεν,
καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
**8** παρεμβαλεῖ[7] ἄγγελος κυρίου κύκλῳ[8] τῶν φοβουμένων αὐτὸν
καὶ ῥύσεται αὐτούς.
**9** γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς[9] ὁ κύριος,
μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ᾽ αὐτόν.
**10** φοβήθητε τὸν κύριον, οἱ ἅγιοι αὐτοῦ,

---

[1] ὁπότε - when
[2] ἀλλοιόω - I change
[3] ἀπολύω - I release
[4] αἴνεσις - praise
[5] ἐκζητέω - seek out, search for
[6] παροικία - a sojourn. The LXX differs from the MT here, which has "fears".
[7] παρεμβάλλω - encamp, pitch a tent
[8] κίκλῳ - around
[9] χρηστός, -ή, -όν - useful, worthy good

ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
**11** πλούσιοι[10] ἐπτώχευσαν[11] καὶ ἐπείνασαν,[12]
οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται[13] παντὸς ἀγαθοῦ.
*διάψαλμα.*[14]
**12** δεῦτε, τέκνα, ἀκούσατέ μου,
φόβον κυρίου διδάξω ὑμᾶς.
**13** τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν
ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;
**14** παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ
καὶ χείλη[15] σου τοῦ μὴ λαλῆσαι δόλον.[16]
**15** ἔκκλινον[17] ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν,
ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.
**16** ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους,
καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.
**17** πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ
τοῦ ἐξολεθρεῦσαι[18] ἐκ γῆς τὸ μνημόσυνον[19] αὐτῶν.
**18** ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν
καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.
**19** ἐγγὺς κύριος τοῖς συντετριμμένοις[20] τὴν καρδίαν
καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.
**20** πολλαὶ αἱ θλίψεις τῶν δικαίων,
καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς.
**21** κύριος φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν,
ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.
**22** θάνατος ἁμαρτωλῶν πονηρός,
καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν.
**23** λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ,

---

[10]MT has "young lions"
[11]πτωχεύω - become poor
[12]πεινάω - I hunger
[13]ἐλαττόω - I am in need; decrease
[14]Some sort of marker. Its meaning is unclear.
[15]χεῖλος - lip
[16]δόλος - deceipt
[17]ἐκκλίνω - I turn away, aside
[18]ἐξολεθρεύω - I destroy completely
[19]μνημόσυνον - memory, remembrance
[20]συντρίβω - I break, shatter

καὶ οὐ μὴ πλημμελήσωσιν[21] πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτόν.

[21] πλημμελέω - I offend, commit sin, trespass

# 3 Plato's Euthyphro

*Εὐθύφρων*

**[2a]** τί νεώτερον, ὦ Σώκρατες, γέγονεν, ὅτι σὺ τὰς ἐν Λυκείῳ καταλιπὼν διατριβὰς[1] ἐνθάδε[2] νῦν διατρίβεις περὶ τὴν τοῦ βασιλέως στοάν; οὐ γάρ που[3] καὶ σοί γε δίκη τις οὖσα τυγχάνει πρὸς τὸν βασιλέα ὥσπερ ἐμοί.[4]

*Σωκράτης*

οὔτοι δὴ Ἀθηναῖοί γε, ὦ Εὐθύφρων, δίκην αὐτὴν καλοῦσιν ἀλλὰ γραφήν.[5]

*Εὐθύφρων*

**[2b]** τί φῄς; γραφὴν σέ τις, ὡς ἔοικε, γέγραπται· οὐ γὰρ ἐκεῖνό γε καταγνώσομαι, ὡς σὺ ἕτερον.

*Σωκράτης*

οὐ γὰρ οὖν.

*Εὐθύφρων*

ἀλλὰ σὲ ἄλλος;

*Σωκράτης*

πάνυ γε.

*Εὐθύφρων*

---

[1] διατριβή - a way of spending time
[2] ἐνθάδε - here
[3] "For certainly there is no...is there?" See discussion in Smyth 2651 and FCC on this.
[4] Dative of the possessor. See Smyth 1476ff.
[5] Moving from generic to specific, δίκη (more general word for case) to a γραφή (a case about actions against the state)

τίς οὗτος;

*Σωκράτης*

οὐδ’ αὐτὸς πάνυ τι γιγνώσκω, ὦ Εὐθύφρων, τὸν ἄνδρα, νέος γάρ τίς μοι φαίνεται καὶ ἀγνώς· ὀνομάζουσι μέντοι αὐτόν, ὡς ἐγᾦμαι,[6] Μέλητον. ἔστι δὲ τῶν δήμων[7] Πιτθεύς, εἴ τινα νῷ[8] ἔχεις Πιτθέα Μέλητον οἷον τετανότριχα[9] καὶ οὐ πάνυ εὐγένειον,[10] ἐπίγρυπον[11] δέ.

*Εὐθύφρων*

οὐκ ἐννοῶ,[12] ὦ Σώκρατες· ἀλλὰ δὴ τίνα γραφήν **[2c]** σε γέγραπται;

*Σωκράτης*

ἥντινα; οὐκ ἀγεννῆ,[13] ἔμοιγε[14] δοκεῖ· τὸ γὰρ νέον ὄντα τοσοῦτον πρᾶγμα[15] ἐγνωκέναι οὐ φαῦλόν[16] ἐστιν. ἐκεῖνος γάρ, ὥς φησιν, οἶδε τίνα τρόπον οἱ νέοι διαφθείρονται καὶ τίνες οἱ διαφθείροντες αὐτούς. καὶ κινδυνεύει σοφός τις εἶναι, καὶ τὴν ἐμὴν ἀμαθίαν[17] κατιδὼν[18] ὡς διαφθείροντος τοὺς ἡλικιώτας[19] αὐτοῦ, ἔρχεται κατηγορήσων μου ὥσπερ πρὸς μητέρα πρὸς τὴν πόλιν. καὶ φαίνεταί μοι τῶν πολιτικῶν[20] **[2d]** μόνος ἄρχεσθαι ὀρθῶς· ὀρθῶς γάρ ἐστι τῶν νέων πρῶτον ἐπιμεληθῆναι[21] ὅπως ἔσονται ὅτι ἄριστοι, ὥσπερ γεωργὸν ἀγαθὸν τῶν νέων φυτῶν[22] εἰκὸς πρῶτον ἐπιμεληθῆναι, μετὰ δὲ τοῦτο καὶ τῶν ἄλλων. καὶ δὴ καὶ

[6] ἐγώ + οἶμαι. οἶμαι - I suppose, expect, imagine.
[7] δῆμος - people
[8] νόος - mind
[9] τετανότριξ - having long hair
[10] εὐγένειος - well-maned (referring here to his beard?)
[11] ἐπίγρυπος - somewhat-hooked (nose)
[12] ἐννοέω - I think, consider
[13] ἀγεννή - low-born
[14] dat. sg. of ἐγώ
[15] probably "lawsuit" here.
[16] φαῦλος - wicked, worthless
[17] ἀμαθία - ignorance
[18] κατεῖδον - I look down; observe
[19] ἡλικιώτης - an equal in age, fellow, comrade
[20] πολιτικός - of or relating to citizens; public; official; statesman; belonging to the state; common, ordinary
[21] ἐπιμελέομαι - I take care of, have charge of; have the management of
[22] φυτόν - a plant, tree

Μέλητος ἴσως[23] πρῶτον **[3a]** μὲν ἡμᾶς ἐκκαθαίρει[24] τοὺς τῶν νέων τὰς βλάστας[25] διαφθείροντας, ὥς φησιν· ἔπειτα μετὰ τοῦτο δῆλον ὅτι τῶν πρεσβυτέρων ἐπιμεληθεὶς πλείστων καὶ μεγίστων ἀγαθῶν αἴτιος τῇ πόλει γενήσεται, ὥς γε τὸ εἰκὸς συμβῆναι[26] ἐκ τοιαύτης ἀρχῆς ἀρξαμένῳ.

*Εὐθύφρων*

βουλοίμην ἄν, ὦ Σώκρατες, ἀλλ᾽ ὀρρωδῶ[27] μὴ τοὐναντίον γένηται· ἀτεχνῶς[28] γάρ μοι δοκεῖ ἀφ᾽ ἑστίας[29] ἄρχεσθαι κακουργεῖν[30] τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σέ. καί μοι λέγε, τί καὶ ποιοῦντά σέ φησι διαφθείρειν τοὺς νέους;

*Σωκράτης*

**[3b]** ἄτοπα,[31] ὦ θαυμάσιε,[32] ὡς οὕτω γ᾽ ἀκοῦσαι.[33] φησὶ γάρ με ποιητὴν εἶναι θεῶν, καὶ ὡς καινοὺς ποιοῦντα θεοὺς τοὺς δ᾽ ἀρχαίους οὐ νομίζοντα ἐγράψατο τούτων αὐτῶν ἕνεκα, ὥς φησιν.

*Εὐθύφρων*

μανθάνω, ὦ Σώκρατες· ὅτι δὴ σὺ τὸ δαιμόνιον φῂς σαυτῷ ἑκάστοτε[34] γίγνεσθαι. ὡς οὖν καινοτομοῦντός[35] σου περὶ τὰ θεῖα γέγραπται ταύτην τὴν γραφήν, καὶ ὡς διαβαλῶν[36] δὴ ἔρχεται εἰς τὸ δικαστήριον,[37] εἰδὼς ὅτι εὐδιάβολα[38] τὰ τοιαῦτα πρὸς τοὺς πολλούς. καὶ ἐμοῦ γάρ τοι, **[3c]** ὅταν τι λέγω ἐν τῇ ἐκκλησίᾳ περὶ τῶν θείων, προλέγων αὐτοῖς τὰ μέλλοντα, καταγελῶσιν[39] ὡς μαινομένου· καίτοι οὐδὲν ὅτι οὐκ ἀληθὲς εἴρηκα ὧν προεῖπον, ἀλλ᾽ ὅμως φθονοῦσιν[40] ἡμῖν πᾶσι τοῖς τοιούτοις. ἀλλ᾽

[23]ἴσως - equally; perhaps; it may be that
[24]ἐκκαθαίρω - I clean out, clean thoroughly
[25]βλάση - birth from
[26]συμβαίνω - come together; come to pass
[27]ὀρρωδέω - I fear, dread, shrink from
[28]ἀτεχνῶς - simply
[29]ἑστία - the hearth, fireside. Idiomatically, "at its very heart"
[30]κακουργέω - I do evil, work wickedness
[31]ἄτοπος - improper, unrighteous, perverse
[32]θαυμάσιος - wonderful, admirable
[33]"to hear it just like that"
[34]ἑκάστοτε - each time, always
[35]καινοτομέω - I cut fresh into; innovate
[36]διαβάλλω - I slander
[37]δικαστήριον - a court of justice
[38]εὐδιάβολος - easy to misrepresent
[39]καταγελάω - I deride, laugh scornfully at
[40]φθονέω - I envy

οὐδὲν αὐτῶν χρὴ φροντίζειν, ἀλλ᾽ ὁμόσε[41] ἰέναι.[42]

*Σωκράτης*

ὦ φίλε Εὐθύφρων, ἀλλὰ τὸ μὲν καταγελασθῆναι ἴσως οὐδὲν πρᾶγμα.[43] Ἀθηναίοις γάρ τοι, ὡς ἐμοὶ δοκεῖ, οὐ σφόδρα μέλει[44] ἄν τινα δεινὸν οἴωνται[45] εἶναι, μὴ μέντοι διδασκαλικὸν[46] τῆς αὑτοῦ σοφίας· ὃν δ᾽ ἂν καὶ ἄλλους οἴωνται **[3d]** ποιεῖν τοιούτους, θυμοῦνται,[47] εἴτ᾽ οὖν φθόνῳ ὡς σὺ λέγεις, εἴτε δι᾽ ἄλλο τι.

*Εὐθύφρων*

τούτου οὖν πέρι ὅπως ποτὲ πρὸς ἐμὲ ἔχουσιν, οὐ πάνυ ἐπιθυμῶ πειραθῆναι.

*Σωκράτης*

ἴσως γὰρ σὺ μὲν δοκεῖς σπάνιον σεαυτὸν παρέχειν καὶ διδάσκειν οὐκ ἐθέλειν τὴν σεαυτοῦ σοφίαν· ἐγὼ δὲ φοβοῦμαι μὴ ὑπὸ φιλανθρωπίας δοκῶ αὐτοῖς ὅτιπερ ἔχω ἐκκεχυμένως παντὶ ἀνδρὶ λέγειν, οὐ μόνον ἄνευ μισθοῦ, ἀλλὰ καὶ προστιθεὶς ἂν ἡδέως εἴ τίς μου ἐθέλει ἀκούειν. εἰ μὲν οὖν, ὃ νυνδὴ ἔλεγον, μέλλοιέν μου καταγελᾶν ὥσπερ **[3e]** σὺ φῂς σαυτοῦ, οὐδὲν ἂν εἴη ἀηδὲς παίζοντας καὶ γελῶντας ἐν τῷ δικαστηρίῳ διαγαγεῖν· εἰ δὲ σπουδάσονται, τοῦτ᾽ ἤδη ὅπῃ ἀποβήσεται ἄδηλον πλὴν ὑμῖν τοῖς μάντεσιν.

*Εὐθύφρων*

ἀλλ᾽ ἴσως οὐδὲν ἔσται, ὦ Σώκρατες, πρᾶγμα, ἀλλὰ σύ τε κατὰ νοῦν ἀγωνιῇ τὴν δίκην, οἶμαι δὲ καὶ ἐμὲ τὴν ἐμήν.

*Σωκράτης*

ἔστιν δὲ δὴ σοί, ὦ Εὐθύφρων, τίς ἡ δίκη; φεύγεις αὐτὴν ἢ διώκεις;

*Εὐθύφρων*

διώκω.

---

[41] ὁμόσε - to one and the same place
[42] *pres act inf* of εἶμι, I go. "Close with the enemy" according to Emlyn-Jones.
[43] "Is of no consequence", Emlyn-Jones
[44] μέλω - I care for; pass: to be an object of care
[45] οἴομαι - I suppose, expect, imagine
[46] διδασκαλικός - fit for teaching, instructive
[47] θυμόω - I am very angry

*Σωκράτης*
τίνα;

*Εὐθύφρων*
**[4a]** ὃν διώκων αὖ δοκῶ μαίνεσθαι.

*Σωκράτης*
τί δέ; πετόμενόν τινα διώκεις;

*Εὐθύφρων*
πολλοῦ γε δεῖ πέτεσθαι, ὅς γε τυγχάνει ὢν εὖ μάλα πρεσβύτης.

*Σωκράτης*
τίς οὗτος;

*Εὐθύφρων*
ὁ ἐμὸς πατήρ.

*Σωκράτης*
ὁ σός, ὦ βέλτιστε;

*Εὐθύφρων*
πάνυ μὲν οὖν.

*Σωκράτης*
ἔστιν δὲ τί τὸ ἔγκλημα καὶ τίνος ἡ δίκη;

*Εὐθύφρων*
φόνου, ὦ Σώκρατες.

*Σωκράτης*
Ἡράκλεις. ἦ που, ὦ Εὐθύφρων, ἀγνοεῖται ὑπὸ τῶν πολλῶν ὅπῃ ποτὲ ὀρθῶς ἔχει· οὐ γὰρ οἶμαί γε τοῦ ἐπιτυχόντος **[4b]** [ὀρθῶς] αὐτὸ πρᾶξαι ἀλλὰ πόρρω που ἤδη σοφίας ἐλαύνοντος.

*Εὐθύφρων*
πόρρω μέντοι νὴ Δία, ὦ Σώκρατες.

*Σωκράτης*
ἔστιν δὲ δὴ τῶν οἰκείων τις ὁ τεθνεὼς ὑπὸ τοῦ σοῦ πατρός; ἢ δῆλα δή; οὐ γὰρ ἄν που ὑπέρ γε ἀλλοτρίου ἐπεξῆσθα φόνου αὐτῷ.

*Εὐθύφρων*
γελοῖον, ὦ Σώκρατες, ὅτι οἴει τι διαφέρειν εἴτε ἀλλότριος εἴτε οἰκεῖος ὁ τεθνεώς, ἀλλ᾽ οὐ τοῦτο μόνον δεῖν φυλάττειν, εἴτε ἐν δίκῃ ἔκτεινεν ὁ κτείνας εἴτε μή, καὶ εἰ μὲν ἐν δίκῃ, ἐᾶν, εἰ δὲ μή, ἐπεξιέναι, ἐάνπερ ὁ κτείνας συνέστιός **[4c]** σοι καὶ ὁμοτράπεζος ᾖ· ἴσον γὰρ τὸ μίασμα γίγνεται ἐὰν συνῇς τῷ τοιούτῳ συνειδὼς καὶ μὴ ἀφοσιοῖς σεαυτόν τε καὶ ἐκεῖνον τῇ δίκῃ ἐπεξιών. ἐπεὶ ὅ γε ἀποθανὼν πελάτης τις ἦν ἐμός, καὶ ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ᾽ ἡμῖν. παροινήσας οὖν καὶ ὀργισθεὶς τῶν οἰκετῶν τινι τῶν ἡμετέρων ἀποσφάττει αὐτόν. ὁ οὖν πατὴρ συνδήσας τοὺς πόδας καὶ τὰς χεῖρας αὐτοῦ, καταβαλὼν εἰς τάφρον τινά, πέμπει δεῦρο ἄνδρα πευσόμενον τοῦ ἐξηγητοῦ ὅτι χρείη **[4d]** ποιεῖν. ἐν δὲ τούτῳ τῷ χρόνῳ τοῦ δεδεμένου ὠλιγώρει τε καὶ ἠμέλει ὡς ἀνδροφόνου καὶ οὐδὲν ὂν πρᾶγμα εἰ καὶ ἀποθάνοι, ὅπερ οὖν καὶ ἔπαθεν· ὑπὸ γὰρ λιμοῦ καὶ ῥίγους καὶ τῶν δεσμῶν ἀποθνῄσκει πρὶν τὸν ἄγγελον παρὰ τοῦ ἐξηγητοῦ ἀφικέσθαι. ταῦτα δὴ οὖν καὶ ἀγανακτεῖ ὅ τε πατὴρ καὶ οἱ ἄλλοι οἰκεῖοι, ὅτι ἐγὼ ὑπὲρ τοῦ ἀνδροφόνου τῷ πατρὶ φόνου ἐπεξέρχομαι οὔτε ἀποκτείναντι, ὥς φασιν ἐκεῖνοι, οὔτ᾽ εἰ ὅτι μάλιστα ἀπέκτεινεν, ἀνδροφόνου γε ὄντος τοῦ ἀποθανόντος, οὐ δεῖν φροντίζειν ὑπὲρ τοῦ τοιούτου -- ἀνόσιον **[4e]** γὰρ εἶναι τὸ ὑὸν πατρὶ φόνου ἐπεξιέναι - κακῶς εἰδότες, ὦ Σώκρατες, τὸ θεῖον ὡς ἔχει τοῦ ὁσίου τε πέρι καὶ τοῦ ἀνοσίου.

*Σωκράτης*
σὺ δὲ δὴ πρὸς Διός, ὦ Εὐθύφρων, οὑτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν θείων ὅπῃ ἔχει, καὶ τῶν ὁσίων τε καὶ ἀνοσίων, ὥστε τούτων οὕτω πραχθέντων ὡς σὺ λέγεις, οὐ φοβῇ δικαζόμενος τῷ πατρὶ ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων;

*Εὐθύφρων*
οὐδὲν γὰρ ἄν μου ὄφελος εἴη, ὦ Σώκρατες, οὐδέ **[5a]** τῳ ἂν διαφέροι Εὐθύφρων τῶν

πολλῶν ἀνθρώπων, εἰ μὴ τὰ τοιαῦτα πάντα ἀκριβῶς εἰδείην.